Ἀναπλήρωσις τῆς ἀκολουθίας τοῦ Ἁγίου
Ἱερομάρτυρος Παγκρατίου,
Ἐπισκόπου Ταυρομενίας τῆς ἐν Σικελίᾳ.

Εἰς τὸ Κύριε ἐκέκραξα, μετὰ τρία τοῦ Μηναίου, λέγε καὶ τὰ παρόντα τρία προσόμοια.

Ἦχος, δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀποστόλων ὁμότροπος, ἀνεδείχθης μακάριε, ἱερὲ Παγκράτιε, θεοδόξαστε, Ἀντιοχέων τὸ καύχημα, Μαρτύρων ἀγλάϊσμα, καὶ κλεινῶν Ἱεραρχῶν, τὸ φαιδρὸν ἀγαλλίαμα· ὅθεν σήμερον, τὴν ἁγίαν σου μνήμην ἐκτελοῦντες, ἐκτενῶς σε δυσωποῦμεν, σῶσον ἡμᾶς ταῖς πρεσβείαις σου.

Ὥσπερ ἥλιος ἔνδοξε, ἐξ ἑώας ἀνέτειλας, καὶ τὴν γῆν κατηύγασας, τῶν θαυμάτων σου, φαιδραῖς ἀκτῖσι τρισόλβιε, θεόφρον Παγκράτιε, ἱε-

Μιχαήλ Γεώργιος Μ. Σουλιώτης